




V. Laurentii
Carmen
de
resurrectione Jesu Christi

Viteb., 1574.












BIBLIOTHECA REGIA HAFNIENSIS

HISTORIA RESVRRECTIONIS DOMINI NOSTRI IESV CHRISTI, SECVNDVM quatuor Euangelistas, Græco heroico carmine reddita:

AD REVERENDOS ET CLArißimos viros, eruditione, pietate & virtutibus excellentes, D. Magistrum Iohannem VVibergium Archidiaconum, D. Magistrum Iohannem Suaningium Diaconum, & D. Magistrum Casparum Mule Præpositum, venerandi Capituli Ripensis Prælatos dignißimos, Dominos & fautores suos summa & perpetua obseruantia colendos:

Autore
M. NICOLAO LAVRENTIO RIPENSI.

VITEBERGAE
EXCVDEBAT IOHANNES CRATO,
ANNO M. D. LXXIIII

ΙΣΤΟΡΙΑ
ΤΗΣ ΑΝΑΣΤΑΣΕΩΣ
ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ,

κατὰ τοὺς τέσσαρας Εὐαγγελιστὰς, στίχοις ἡρωικοῖς ἑλληνικῶς περιειλημμένη.

Κλειτὴν ἄειδε θεὰ Χριστοῖο ἀνάστασιν ἱρὴν
κυδαλίμην θ', ἣ μυρία θνητοῖς χάρματα θῆκεν:
πάντας καὶ εὐσεβέων ψυχὰς, ἀΐδαο σαώσεν,
αὐτοὺς δὲ μετόχους τεῦξεν βίου ἀϊδίοιο,
ἴσους οὐρανίοισί τε πᾶσι, πατρὸς κατὰ βουλήν.
Σαββάτου ἐκβέβαεν ζαθέου ὅτε δίη ἑορτὴ,
δὴ τότε Μαγδαλίνη Μαρίη, Μαρίη τ' Ἰακώβου,
ἠδὲ Ἰωάννη κεδνὴ, ἁγνή τε Σαλώμη,
θηλύτεραι τ' ἄλλαι, σὺν Χριστῷ αἵτινες ἦλθον
ἰλαδὸν ἐκ πόλεως Γαλιλαίης εὐρυαγύης,
ὠνήσαντο μύρον μάλα εὔοδμόν τε, καλόν τε:
ἠδ' ἡτοίμασαν θυόεντα ἀρώματα, θᾶσσον
ὄφρα νεκρὸν Χριστοῖο δέμας χρίσωσιν ἄνακτος.
ἡσυχίως γὰρ ἔμιμνον, ἑορτῆς εἰσόκεν ἱραὶ
ἡμέραι ἐξετελειῶντο, καθὼς πρέπον, ἣ θέμις ἔσκεν
αὐταῖς, ἀϊδίοιο θεοῦ ἱερὰς κατ' ἐφετμάς.
Πρῶτον ἔην ζαθέου ὅτε σαββάτου ἱερὸν ἦμαρ,
ἠέλιος Φαέθων ποτὶ ἀντολίην καὶ ἀφίκανε,
καὶ νέος οὐρανόθεν σφετέρης αἴγλησιν ἐφάνθη:
πρὸς τάφον ἀχλυόεντα ὁμῶς Χριστοῖο. γυναῖκες
εὔπεπλοι ἔρχονται, ἑῇς παλάμῃσιν ἔχουσαι
εὐῶδες μύρον, ὅττι πάρος καὶ ἀγόραζον ἅπασαι.
ἠνίδε σμερδαλέον τε ἀπείριτος αἶα τρόμησεν:
κυρίου ἀγγελικὸς θεράπων κατέβαινεν Ὀλύμπου
ἐκ κορυφῆς μεγάλου, εἰς γαῖαν βουτιανείρην.
τὸν λίθον ἔκ τε θύρας τοῦ σήματος ὦκα κυλίνδων,

τοῦ

τοῦ δ' ἐπὶ, ἄγγελος ἐὼν θεοῦ ἀθανάτοιο, κάθιζεν.
ἠδ' αὐτοῖο πρόσωπον ἔην στιλβούσῃ ἐοικὼς
ἀστεροπῇ, λαμπρὸν καὶ ὥσπερ φάος ἠελίοιο:
ἑστάμενός τε ὁμῶς ἑανῷ ἀργῆτι φαεινῷ,
ὥστε χιὼν μάλα λευκὸς ἔην, καὶ λάμπετο λίην.
θάμβος δ' εἶχε μέγας φύλακας, θαῦμ' εἰσορόωντας.
ἠδ' ἐγένοντο καθὼς θανάτου δεδμημένοι ὕπνῳ.
Ἀλλὰ πρὸς ἀλλήλας τοιαῦτα λέγουσι γυναῖκες,
τίς λίθον ἐκ τύμβοιο θύρας κουφίσει ἑταῖραι;
ἀχθεινός ἐστιν ἄγαν, χειροπλήθης τε μέγας τε.
ἐρχόμεναι ποτὶ σῆμα, λίθον κεκυλισμένον εἶναι
βλέψαν, ἢ εἰσελθοῦσαι ὁμῶς τάφον ἠερόεντα,
κυρίου ἀθανάτοιο δέμας μὴ ἔνθα ἐφεῦρον.
Μαγδαλίνη Μαρίη γὰρ ἀπῴχετο, ὄφρα τάχιστα
κηρύξῃ ἄλλοις συνάπανθ' ὅσα κεῖθι τελέσθη.
θηλύτεραι τ' ἄλλαι μέγα πένθος θυμῷ ἔχεσκον,
ἐν τάφῳ ὅττι δέμας νεκρὸν μὴ εὗρον Ἰησοῦ.
ἀνέρε ἀλλὰ δύω θεοεικέλω ἔνθα ἔβλεψαν:
ἀμφότεροι δ' αὐτὰς τοῖον πρὸς μῦθον ἔειπον,
κεδναὶ καὶ αἰδοῖαι τί ἐκεῖ ζητεῖτε γυναῖκες;
ζῶντα μεταλλᾶσθε Χριστὸν τὸν ἄνακτα Ἰησοῦν
ἐν νεκροῖς, θανάτου οὓς ἔλλαβε μοῖρα κραταιή;
οὐκ ἔτι ἐν τούτοις αὐτὸν καὶ εὑρήσετε ὑμεῖς,
ἀλλὰ νέον τῶνδ' ἐκ νεκύων ἔνδοξος ἀνέστη.
μιμνήσκεσθε λόγου, ἡμῖν ὃν ἐκεῖνος ἔνισπεν,
ὁππότε ἦεν ἐνὶ χθονὶ εὐκάρπου γαλιλαίης:
υἱέα ὅττι ἔδει ἀνθρώπων δυσσεβέεσσιν
ἔθνεσι, καὶ ἀθέοισι παρὰ θνητοῖσι δοθῆναι:
οἵδε προσάψουσιν σταυρῷ μιν ἄνακτα μέγιστον,
ὄφρ' ἀδίκως αἰσχρόν τ' οἴκτιστον πάσχῃ ὄλεθρον:
ἀλλὰ τρίτον δ' ἐπεὶ ἦμαρ ἐϋπλόκαμος τέλεσ' ἠώς,
δὴ τότε ζωὸς ἐών, ἐπαναστήσ' ἐκ θανάτοιο.

μνήσθησαν δ' ἦ λόγου πάρος ὃν κείνησιν ἔειπεν:
καρπαλίμως κ' ἀπέβαν, κρυερὸν τάφον αὖτε λιποῦσαι,
ἠδ' ἅμα κήρυξαν τοῖς ἕνδεκα, ἠδὲ καὶ ἄλλοις
θνητοῖς εὐσεβέεσσιν, ἅπανθ' ὅσα ἐξετελέσθη.
αὐτὰρ ἔπη αὐτῶν τὰ ἐτήτυμα οὐκ ἐφάνησαν,
ἀλλὰ μάταια, λόγοις καὶ μὴ πίστευσαν ἐκείνοις.
Μαγδαλίνη μετέπειτα δύω ποτὶ ἦλθε μαθητὰς,
τὸν Σίμωνα Πέτρον, καὶ Ἰωάννην ἐρίηρον,
ὃν περὶ τῶν ἄλλων αἰὲν φιλέεσκεν Ἰησοῦς:
ἠδ' αὐτῷ θᾶσσον τοῖον πρὸς μῦθον ἔειπεν,
κύριον ἐκ τύμβου δολερῶς λάβον οὔλιοι ἄνδρες,
καὶ οὐκ ἴσμεν ὅπου αὐτὸν νημερτὲς ἔθηκαν.
Ἔρχετο γοῦν ὁ Πέτρος, πιστός τε καὶ ἄλλος ἑταῖρος,
πρὸς τάφον ὄφρα τάχις ἰθὺς ἵξωνται ἰόντες.
ἔτρεχον ἠδὲ ὁμοῦ σπουδαίως, εἰς δρόμον ἄμφω,
ἀλλὰ πάρος πρὸς σῆμα Ἰωάννης ἐπανῆλθεν:
λίντιον εἷμα ἐκεῖ ἐνὶ τύμβῳ κείμενον εἶδεν,
οὐκ ἔμπης σφετέρῳ καταδῦναι ἐπιήνδανε θυμῷ:
ἀλλὰ Πέτρος σχεδόθεν τοῦ αὐτοῦ ἦλθεν ὄπισθεν,
καὶ μετέπειτ' αὐτὸς τάφον ὅττι τάχιστα ἐσελθὼν,
εἵματα λέπτ' ἀπαίνυθεν ὁρᾷ καὶ σπάργανα καλὰ,
σουδάριον κεφαλὴν αὐτοῦ ὅ, τι ἀμφικάλυψε,
κείμενον ἐν θώκῳ ἐκίχανεν σήματος ἄλλῳ.
δὴ τότε καὶ ἄλλος μύστης ἀγάκλειτος ἐσῆλθεν
τοῦ χριστοῖο τάφον, πάρος ὃς ποτὶ τόνδ' ἀφίκανε,
καὶ τάδε εἰσορόων πίστευσεν ἐνὶ φρεσὶν ᾗσι.
οὐ γὰρ ἔτι γνῶσαν, περὶ αὐτοῦ ὅσσα ἔγραψαν,
ἐν ἱεραῖς βίβλοις Μωσῆς, ἄλλοι τε προφῆται:
ὅττι ἐκεῖνον ἔδει τῶν ἐκ νεκύων ἀνορούειν.
ἐξαῦτις κ' ἀπέβαν σφέτερον ποτὶ ἐυκτίμενον δῶ,
θαύμαζόν τε λίην τῶν εἵνεκα ὅσσα τελέσθη.
Αὐτὰρ εὐπλόκαμος Μαρίη πρὸς σῆμα Ἰησοῦ

ἕστηκεν,

ἔστηκεν, λιγέως θαλερὸν κατὰ δάκρυον χέουσα:
καὶ ἐν τάφῳ εἰσορᾷ δύω ἀγγελικὼ θεράποντε,
ἑσσαμένω λεπτῷ ἑανῷ, καὶ ἐσθῆτι φαεινῇ.
ἠδ᾽ ἕνα πρὸς κεφαλῇ, ποτὶ δ᾽ οὖ πόδας ἄλλον ὄπωπεν
ἥμενον, ὅπου ἔκειτο δέμας Χριστοῖο ἄνακτος.
ἄγγελοι ἀλλ᾽ ἀγανοῖσι λόγοις προσεφώνεον αὐτήν:
τίπτε χέεις ὀλοφυρομένη γύναι ὄμμασι δάκρυ;
ὣς ἄρ᾽ ἔφαν: Μαρίη τοίῳ δ᾽ ἀμείβετο μύθῳ,
κύριον οἴμοι ἐμὸν μέροπες κακοεργοὶ ἔκλεψαν,
καὶ σάφα οὐκ ἔγνων πάλιν ὅπου ἐκεῖνον ἔθηκαν;
τοῖον ἐπεὶ ἀγόρευσε λόγον Μαρίη εὔπεπλος,
ἤνιδε ὀφθαλμοῖσιν ἑοῖς τὸν Χριστὸν ἔβλεψεν
ἐνθ᾽ ἑστῶτα, ἐκεῖνον ὅμως καὶ οὐ δ᾽ ἀνέγνω.
Ιησοῦς αὐτὴν προσεφώνεεν ἠδ᾽ ἀγόρευε.
τίπτε γύναι κατὰ δάκρυ χέεις, τοῖς ὄμμασι σοῖσιν;
καὶ τίνα ὀτραλέως ζητεῖς βροτὸν, ἔνθα καὶ ἔνθα;
ἀλλὰ ἐκεῖνον ἔμμεν κήποιο φυτηκόμον ἄνδρα
πυροφόρου πίστευσεν: ἄφαρ δὲ ἀμείβετο μύθῳ.
ἐνθάδε αἴ κε δέμας σὺ λάβες ταφόεντος Ιησοῦ,
εἰπὲ ἄγε εἰρομένῃ μάλα νημερτὲς τόδ᾽ ἔμοιγε;
ἐξαῦτις πανάριστε ἄνερ ποῦ αὐτὸν ἔθηκας;
ὄφρα τάχιστα ἐγὼ νῦν ἔνθεν ἐκεῖνον ἀείρω.
ὣς φάτο: ἀλλὰ λόγοις Χριστὸς προσηύδαε αὐτὴν
ἐξονομακλήδην, Μαριὰμ καὶ ἰάχησεν ἔπεσσιν.
ἥδε μεταστρεφθεῖσα πάλιν, ῥαββουνὶ ἔειπεν,
ἑλληνέεσσιν ὅ ἐστι διδάσκαλε ἔξοχ᾽ ἄριστε.
τὴν δ᾽ ἀπαμειβόμενος Χριστὸς καὶ ἀντίον ηὔδα.
χερσὶ τεῇσι γύναι ἅπτειν πεφύλαξο ἐμοῖο:
οὔπω γάρ ποτ᾽ ἐμὸν πατέρ᾽ αὐτογένεθλον ἐπήρθην,
οἴχεο ἀλλὰ ἐμοὺς πρὸς ἀδελφοὺς, ἠδὲ μαθητὰς,
ἠδ᾽ αὐτοῖσιν ὀδυρομένοις τὴν φράσσεο μῦθον
οὐρανὸν ὅτι ἐγὼν ἀναβήσομαι ἀστερόεντα,

πρὸς πατέρ' ἐσθλὸν ἐμόν τε, καὶ ὑμέτερον γενετῆρα,
ἠδὲ θεὸν ποτ' ἐμὸν, καὶ ὑμείων θεὸν εἶμι.

Ἡ πέλεται Μαρίη, πάρος ἧς ἀπὸ δαίμονας ἑπτὰ
Ἰησοῦς ἐξῶσεν, ἐπεὶ καὶ αὐτὸς ἀνέστη
ἡ πρώτιστ' ἐφάνη, ἅμα ἠοῖ φαινομένηφι,
πρώτῳ ἐνὶ ζαθέῳ τοῦ σαββάτου ἤματι ἱεροῦ.
αὐτὰρ ἐκείνη ἅπαντα φίλοις κήρυξεν ἑταίροις,
κύριον ὅττι, ἑοῖς τοῖς ὀφθαλμοῖσιν, ὄπωπεν.
οἳ μὲν ἐνὶ στήθεσσιν ἄχος μάλα λυγρὸν ἔχεσκον.
μηδ' αὐτοῖσιν ὅλως ἐπεπείθετο θυμὸς ἄπιστος.

Ἀλλὰ φυλακτῆρες τοῦ σήματος, οἱ στρατιῶται,
εἰς Σολύμων ποσσὶ τρέχον εὐκτίμενον πτολίεθρον,
καὶ σύμπαντα ἐκεῖ τετελεσμένα ὅσσα ἔασι,
κήρυξαν νομικοῖς τε, καὶ ἄλλοις ἀρχιερεῦσι:
οἱ δὲ τάχιστα σὺν ἀρχοῖσιν καὶ πρεσβυτέροισι
ἠγερέθοντο ἐφ' οἷ, ἀγορὴν εἰς ἄλλοθεν ἄλλοι:
ἵλαθον ἀλλ' ὅτ' ἔσαν σύμπαντες ἀολλέες ἔνδον,
τοῖς ἄνδρεσσι τάφον χριστοῦ οἳ νυκτὶ φύλαξον,
ἀργύριον οὐκ ὀλίγον λιπαρῶς καὶ χρήματ' ὄπασσαν.
καὶ μετέπειτ' αὐτοὺς ἔπεσι προσεφώνεον ὧδε.
εἴπατε εἰρομένοις περὶ αὐτοῦ πᾶσι βροτοῖσιν,
ἦμος νὺξ δνοφερὴ κάτεχ' οὐρανὸν ἠνεμόεντα,
ἡμᾶς μὲν γλυκερὸς καὶ νήδυμος ὕπνος ἔμαρπτε:
τῆμος ἀγρόμενοι αὐτοῖο οἱ ἔνδεχ' ἑταῖροι
ἦλθον ὁμῶς, καί μιν λάβον ἐκ τύμβου κρυεροῖο.
οἰχόμενοι δὲ φυλακτῆρες, ψευδηγόροι ἄνδρες,
ποίησαν σύμπανθ' ἱερεῖς ὅσα τοῖσι κέλευσαν,
ἀργύριον ὡς ἔλαβόν τε, καὶ ἄσπετα δῶρα ἐκείνων.
αὐτὰρ ἔπη τάδε, καὶ φήμη ἐσκίδνατο εὐρὺ,
τοῖς παρ' Ἰουδαίοις, τοῦ ἤματος ἄχρι παρόντος.

Δύσατο αὐτὰρ ἐπεὶ λαμπρὸν φάος ἠελίοιο,
ἐκβέβαεν ζαθέου χ' ἐν σαββάτου ἱερὸν ἦμαρ:

πάντες

πάντες ὁμῶς ἕταιροι χριστοῖο ἀολλέες ἦσαν,
ἠδὲ θύραι μεγάροιο ἔσαν κεκλεισμέναι αἰέν.
εἵνεκ' Ἰουδαίων κακοέργων ἀγρίου ὀργῆς:
ἠνίδε ἦλθε θεοῦ υἱὸς, νικηφόρος ἥρως,
ὁππότε τῆς πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
ἐν δὲ μέσῳ αὐτῶν ἔστηκεν, καὶ φάτο μῦθον:
εὔχομαι ὑμῖν ἐμὴν εἰρήνην ἱμερόεσσαν.
κερτομίοις ἔπεσιν καὶ αὐτοὺς νείκεσσεν ἔπειτα,
ὅττι ἄπιστοι ἔσαν σύμπαντες ἐνὶ φρεσὶν ἧσι,
καὶ κραδίη κείνων στερεωτέρη ἔσκε λίθοιο:
οὐ γὰρ ἔπη αὐτῶν πίστευσαν ἐτήτυμα εἶναι,
οἵτινες αὐτὸν ἔβλεψαν ἐπεὶ νεκύων ἐκ ἀνέστη.
τοὺς δὲ μαθητὰς ἕλε τρόμος, ἠδὲ φόβος μέγας εἶχε,
πίστευσαν γὰρ ἅπαντες ἔμμεν τὸ πνεῦμα ἐκεῖνον:
κύριος οὖν ἔπεσι προσέειπε τὸ δεύτερον αὐτούς:
τίπτε φοβεῖσθε μετὰ φρεσὶν, φίλοι ἄνδρες ἑταῖροι;
ἠδὲ νόος τοιαῦθ' ὑμῖν περὶ ἐμοῖο μενοινᾷ;
ἠνίδε πάντες ἐμοῦ χεῖράς τε, πόδας τε ὁρᾶτε,
ὑμείων γὰρ ἐγὼν αὐτὸς θεός εἰμι ἀληθῶς.
ἅπτετε χείρεσσιν νῦν ὑμετέραισιν ἐμοῖο,
ὅττι τὸ πνεῦμα ἔχει οὐκ ὀστέα, μηδὲ κρέας τε,
ταῦτα δ' ἔασιν ἔμοιγε, καθὼς συνάπαντες ἴδοιτε.
ὣς φάτο: καὶ γόμφων τύπον ἐν χερσίν τε, ποσίν τε,
αὐτοῖσιν δήλωσεν, ἑὴν πλευρὴν καὶ ἔδειξεν.
δὴ τότε τοῖσιν ἐνὶ στήθεσσιν ὁ θυμὸς ἰάνθη,
κύριον ὅττι ἑοῖς σάφα ὀφθαλμοῖσιν ἴδοντο.
οὐκ ἔτι ἀλλὰ ἐνὶ φρεσὶν πίστευσαν ἅπαντες,
εἵνεκα χαρμοσύνης, καὶ θαύμαζον μάλα θυμῷ.
τοὔνεκεν ἐξαῦτις οὕτω ἐρέεινεν ἐκείνους:
ἐνθάδε νῦν ἔχετε βρῶσιν μελιηδέα ἄνδρες;
οἱ δ' αὐτῷ ὄπασσαν μέρος ἰχθύος ὀπταλέοιο,
καί τι ἀπὸ γλυκερῆς μελικήρεος ἱμεροέσσης,

ἡδίστην

ἡδίστην μετὰ χερσὶν ἑῆς λάβεν αὐτὶς ἐδωδήν,
ἠδ' ἔφαγεν, πάντων ἅμα ὄμμασιν εἰσορόωντων.
μειλιχίοισιν ἔπεσσ' αὐτοὺς μετέπειτα προσηύδα·
οὗτοι ἔασι λόγοι οὓς ὔμμιν ἔειπα ἔγωγε,
ὁππότε τὸ πρότερον μεθ' ὑμῶν ἔσκον, ἐπ' αἶαν.
νημερτὲς δ' ὅτ' ἔδει πληρωθῆναι συνάπαντα,
ἐν νόμῳ ἰσόθεος μωσῆς περ ἐμοῦ ὅσ' ἔγραψεν,
ἠδὲ προφῆται ἀμώμητοι καὶ θεῖος ἀοιδὸς
ἐν ψαλμοῖσιν ἑοῖς ὁ Δαυίδης, ἔνθα καὶ ἔνθα.
καὶ τότ' ἐπισταμένως ἤνοιξεν τὰς φρένας αὐτῶν,
ἠδ' ἐνόησαν ὅσ' ἐν ζαθέοις βίβλοισι γέγραπται.
ὕστατα δ' αὐτοῖσι μετηύδα καὶ φάτο μῦθον·
ἐν βίβλοις ἱεροῖς οὕτω κεχαραγμένον ἐστί,
Χριστὸν ἔδει ἀδίκως τὰ ἀνήκεσ' ἄλγεα πάσχειν,
ἠδ' ὀλέθρῳ θανέειν, καὶ πότμον ἀεικῆ ἐπισπεῖν.
τῷ τρίτῳ ἐκ νεκύων δ' ἤματι αὖτ' ἀνορούειν·
οὐνόματ' ἐντ' αὐτοῦ χρὴ κηρυχθῆναι ἅπασιν
ἀνθρώποισι βροτοῖς, νημερτέα τὴν μετάνοιαν,
καὶ λύσιν ἠδ' ἄφεσιν κακιῶν καὶ ἀτασθαλιάων·
ἀρξάμενον Σολύμων πόλεως ἀπὸ ἐυρυαγήας.
ἠδ' ὑμεῖς τούτων οἱ μάρτυρές ἐστε ἀληθεῖς.
εὐλόγεέν τ' αὐτοὺς, χεῖρας μάλα ὕψι ἀνασχὼν,
καὶ ποτὶ οὔλυμπον πολύχαλκον ἔπειτα ἐπήρθη.

ΤΈΛΟΣ.